21 παρὰ τοῦ θεοῦ ἐν τῇ χειρὶ αὐτοῦ. [21]εἶπεν δὲ κύριος πρὸς Μωυ-
σῆν Πορευομένου σου καὶ ἀποστρέφοντος εἰς Αἴγυπτον ὅρα πάν-
τα τὰ τέρατα, ἃ ἔδωκα ἐν ταῖς χερσίν σου, ποιήσεις αὐτὰ ἐναν-
τίον Φαραω· ἐγὼ δὲ σκληρυνῶ τὴν καρδίαν αὐτοῦ, καὶ οὐ μὴ
22 ἐξαποστείλῃ τὸν λαόν. [22]σὺ δὲ ἐρεῖς τῷ Φαραω Τάδε λέγει κύριος
23 Υἱὸς πρωτότοκός μου Ισραηλ· [23]εἶπα δέ σοι Ἐξαπόστειλον τὸν
λαόν μου, ἵνα μοι λατρεύσῃ· εἰ μὲν οὖν μὴ βούλει ἐξαποστεῖλαι
αὐτούς, ὅρα οὖν ἐγὼ ἀποκτενῶ τὸν υἱόν σου τὸν πρωτότοκον.
24 [24]Ἐγένετο δὲ ἐν τῇ ὁδῷ ἐν τῷ καταλύματι συνήντησεν αὐτῷ
25 ἄγγελος κυρίου καὶ ἐζήτει αὐτὸν ἀποκτεῖναι. [25]καὶ λαβοῦσα Σεπ-
φωρα ψῆφον περιέτεμεν τὴν ἀκροβυστίαν τοῦ υἱοῦ αὐτῆς καὶ
προσέπεσεν πρὸς τοὺς πόδας καὶ εἶπεν Ἔστη τὸ αἷμα τῆς περι-
26 τομῆς τοῦ παιδίου μου. [26]καὶ ἀπῆλθεν ἀπ᾿ αὐτοῦ, διότι εἶπεν
Ἔστη τὸ αἷμα τῆς περιτομῆς τοῦ παιδίου μου.
27 [27]Εἶπεν δὲ κύριος πρὸς Ααρων Πορεύθητι εἰς συνάντησιν Μωυ-
σεῖ εἰς τὴν ἔρημον· καὶ ἐπορεύθη καὶ συνήντησεν αὐτῷ ἐν τῷ
28 ὄρει τοῦ θεοῦ, καὶ κατεφίλησαν ἀλλήλους. [28]καὶ ἀνήγγειλεν Μωυ-
σῆς τῷ Ααρων πάντας τοὺς λόγους κυρίου, οὓς ἀπέστειλεν, καὶ
29 πάντα τὰ σημεῖα, ἃ ἐνετείλατο αὐτῷ. [29]ἐπορεύθη δὲ Μωυσῆς καὶ
30 Ααρων καὶ συνήγαγον τὴν γερουσίαν τῶν υἱῶν Ισραηλ. [30]καὶ ἐλά-
λησεν Ααρων πάντα τὰ ῥήματα ταῦτα, ἃ ἐλάλησεν ὁ θεὸς πρὸς
31 Μωυσῆν, καὶ ἐποίησεν τὰ σημεῖα ἐναντίον τοῦ λαοῦ. [31]καὶ ἐπίστευ-
σεν ὁ λαὸς καὶ ἐχάρη, ὅτι ἐπεσκέψατο ὁ θεὸς τοὺς υἱοὺς Ισραηλ,
καὶ ὅτι εἶδεν αὐτῶν τὴν θλῖψιν· κύψας δὲ ὁ λαὸς προσεκύνησεν.
5 [1]Καὶ μετὰ ταῦτα εἰσῆλθεν Μωυσῆς καὶ Ααρων πρὸς Φαραω καὶ
εἶπαν αὐτῷ Τάδε λέγει κύριος ὁ θεὸς Ισραηλ Ἐξαπόστειλον τὸν
2 λαόν μου, ἵνα μοι ἑορτάσωσιν ἐν τῇ ἐρήμῳ. [2]καὶ εἶπεν Φαραω
Τίς ἐστιν οὗ εἰσακούσομαι τῆς φωνῆς αὐτοῦ ὥστε ἐξαποστεῖλαι
τοὺς υἱοὺς Ισραηλ; οὐκ οἶδα τὸν κύριον καὶ τὸν Ισραηλ οὐκ ἐξα-
3 ποστέλλω. [3]καὶ λέγουσιν αὐτῷ Ὁ θεὸς τῶν Εβραίων προσκέκλη-
ται ἡμᾶς· πορευσόμεθα οὖν ὁδὸν τριῶν ἡμερῶν εἰς τὴν ἔρημον,
ὅπως θύσωμεν τῷ θεῷ ἡμῶν, μήποτε συναντήσῃ ἡμῖν θάνατος ἢ
4 φόνος. [4]καὶ εἶπεν αὐτοῖς ὁ βασιλεὺς Αἰγύπτου Ἵνα τί, Μωυσῆ καὶ
Ααρων, διαστρέφετε τὸν λαόν μου ἀπὸ τῶν ἔργων; ἀπέλθατε ἕκα-
5 στος ὑμῶν πρὸς τὰ ἔργα αὐτοῦ. [5]καὶ εἶπεν Φαραω Ἰδοὺ νῦν πο-
λυπληθεῖ ὁ λαός· μὴ οὖν καταπαύσωμεν αὐτοὺς ἀπὸ τῶν ἔργων.
6 [6]συνέταξεν δὲ Φαραω τοῖς ἐργοδιώκταις τοῦ λαοῦ καὶ τοῖς γραμ-

20 τη > A || 21 την καρδ. / αυτου] tr. A || 23 αποκτεννω B† || 26 > B | μου M] > A || 27 μωυσει A] μωσει B: pro μωυσ- B et A crebro μωσ- praebent, ego ubique formam antiquiorem μωυσ- restituo || 28 τω > A | σημεια] ρηματα B†

5 1 μοι εορτ.] tr. A || 2 εστιν] + θεος A† || 5 λαος] + της γης A